Εἰ δὲ λέγοι τις, ὅτι ὁ ἁμαρτάνων κατὰ τὸ τῆς ἀσωτίας πάθος τυχόν, ἐλευθεροῦται τοῦ τῆς ἀνελευθεριότητος πάθους, καὶ οὕτως ἀφίεταί τι ἁμάρτημα ἄνευ χάριτος, ἀλλὰ φησὶν ὁ Αὐγουστῖνος· „Εἰ τὸ ἀπόσχεσθαι τῆς ἁμαρτίας, τοῦτ' ἦν τὸ μὴ ἔχειν ἁμαρτίαν, ἤρκεσεν ἂν εἰπεῖν τὴν Γραφήν· „Υἱέ, ἥμαρτες, μὴ προσθοῦ πάλιν“· ἀλλὰ προστίθησι· „Καὶ περὶ τῶν προτέρων δεήθητι, ἵνα σοι ἀφεθῶσι“. Παρέρχεται μὲν γὰρ ἡ ἁμαρτία τῷ ἔργῳ, μένει δὲ τῇ ἐνοχῇ· οὐκοῦν καὶ ἀμφοῖν ἐνέχεται τρόπον τινά· οὐ γάρ εἰσιν ἐν αὐτοῖς ἐναντία κατὰ τὴν ἐκ Θεοῦ ἀποστροφήν, καθ' ἣν τὸ ἁμάρτημα ἔχει τὴν ἐνοχήν.

3. Τρίτον, ὅτι πρὸς τὴν τοῦ ἀσεβοῦς δικαίωσιν ζητεῖται κίνησις τοῦ αὐτεξουσίου. Ἐν γὰρ τῷ ἕκτῳ τοῦ κατὰ Ἰωάννην λέγεται· „Πᾶς ὁ ἀκούων παρὰ τοῦ Πατρός μου καὶ μανθάνων ἔρχεται πρός με“· τὸ δὲ μανθάνειν οὐκ ἄνευ κινήσεως τοῦ αὐτεξουσίου· ὁ γὰρ μανθάνων συντίθεται τῷ διδάσκοντι. Καὶ ὁ λόγος, ὅτι ὁ Θεὸς κινεῖ πάντα κατὰ τὸν ἑκάστου τρόπον, ὡς ἐπὶ τῆς κινήσεως τῶν φυσικῶν ὁρῶμεν· ὁ δ' ἄνθρωπος φύσει αὐτεξούσιος· ὅθεν οὐ κινεῖται ὑπὸ τοῦ Θεοῦ εἰς δικαιοσύνην ἄνευ κινήσεως τοῦ αὐτεξουσίου, ἀλλ' οὕτως ἐνίησι τὸ δῶρον τῆς δικαιούσης χάριτος ὥσθ' ἅμα μετὰ τούτου κινεῖν καὶ τὸ αὐτεξούσιον ἐπὶ τὸ δῶρον τῆς χάριτος, ἡδέως λαμβανόμενον ἐν τοῖς δεκτικοῖς τῆς τοιαύτης κινήσεως, εἰ καὶ οἱ παῖδες, μὴ χωρητικοὶ ὄντες τῆς κινήσεως τοῦ αὐτεξουσίου, τῇ πνευματικῇ ἀναγεννήσει τὴν τοῦ Χριστοῦ χάριν λαμβάνουσιν, ὡς τὸ προγονικὸν ἁμάρτημα, οὗ τῇ ἀποβολῇ δικαιοῦνται, οὐκ ἰδίᾳ θελήσει, ἀλλ' ἀπὸ τῆς σαρκικῆς ἀρχῆς ἔλαβον.

Ἔτι, τῷ δώρῳ τῆς σοφίας φωτίζεσθαι δυνατὸν τὸν ἀνθρώπινον νοῦν ἄνευ τελείας τοῦ αὐτεξουσίου κινήσεως, ὥσπερ ὁρῶμεν ἐν τοῖς ὕπνοις ἀποκαλυπτόμενά τινα τοῖς ἀνθρώποις, καὶ ἐν τῷ Ἰὼβ λέγεται· „Ὅταν ἐπιπέσῃ ὕπνος | ἐπὶ τοὺς ἀνθρώπους, καὶ καθεύδωσιν ἐν ταῖς κλίναις, f. 174v
τότε διανοίγει τὰ ὦτα τῶν ἀνδρῶν καὶ νουθετεῖ“. Τοῦτο δὲ γίνεται ἐν τῷ τῆς σοφίας δώρῳ διὰ τὸ τὸν νοῦν τῆς θελήσεως προηγεῖσθαι, ἧς κινουμένης τάττεται ὁ ἄνθρωπος τῷ δώρῳ τῆς δικαιούσης χάριτος πρὸς τἀγαθόν, ὅ ἐστι τῆς θελήσεως ἀντικείμενον· διὸ καὶ οὐχ ὁ αὐτὸς ἐπ' ἀμφοῖν τοῖν δώροιν ὁ λόγος.

4. Τέταρτον, ὅτι πρὸς τὴν τοῦ ἀσεβοῦς δικαίωσιν ζητεῖται ἡ τῆς πίστεως κίνησις, ὡς ἐν πέμπτῳ τῆς πρὸς Ῥωμαίους· „Δικαιωθέντες τοίνυν διὰ τῆς πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν Θεόν“. Ἐν γὰρ τῇ δικαιώσει ὁ τοῦ ἀνθρώπου νοῦς ὑπὸ τοῦ Θεοῦ κινεῖται· κινεῖ δὲ αὐτὸν ὁ Θεός, ἐπιστρέφων αὐτὸν εἰς ἑαυτόν, ὡς ἐν τοῖς Ψαλμοῖς· „Ὁ Θεός, σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς“· πρώτη δὲ εἰς τὸν Θεὸν ἐπιστροφή, ἡ διὰ πίστεως, ὡς ἐν

---

11 Ioh. 6, 45  26 Iob, 33, 15  34 Rom. 5, 1  37 Ps. 84, 7



Ε.Υ.Δ της Κτ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

ἑνδεκάτῳ πρὸς Ἑβραίους· „Τὸν γὰρ προσερχόμενον τῷ Θεῷ ἀνάγκη πιστεύειν“.

5. Πέμπτον, ὅτι πρὸς τὴν τοῦ ἀσεβοῦς δικαίωσιν ζητεῖται κίνησις τοῦ αὐτεξουσίου εἰς τὴν ἁμαρτίαν, ὡς ἐν τοῖς Ψαλμοῖς· „Εἶπα· ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου“. Ἐπειδὴ γὰρ ἡ τοῦ ἀσεβοῦς δικαίωσις κίνησίς ἐστι τῆς ἀνθρωπίνης διανοίας παρὰ Θεοῦ ἀπὸ τῆς ἁμαρτίας ἐπὶ τὴν δικαιοσύνην, ἀνάγκη καὶ ἐπὶ πάσης κινήσεως ἀποχωρεῖν μὲν τὴν ἀνθρωπίνην διάνοιαν τῆς ἁμαρτίας ὡς τοῦ ἀφ' οὗ διὰ μίσους, προσχωρεῖν δὲ τῇ δικαιοσύνῃ ὡς τῷ εἰς ὃν ὅρον δι' ἐπιθυμίας. Εἰ γὰρ καὶ δεῖ ἐπιλανθάνεσθαι τῶν ὄπισθεν, κατὰ τὸ ἀποστολικὸν πρὸς Φιλιππησίους, ἀλλ' ὥστε μὴ διατίθεσθαι περὶ ἐκεῖνα, οὐχ ὥστε πάντη ἀμνημονεῖν· οὐ γὰρ ἂν βδελυχθείη.

6. Ἕκτον, περὶ τῶν ζητουμένων εἰς τὴν τοῦ ἀσεβοῦς δικαίωσιν, ὅτι τέσσαρα· παρουσία χάριτος, κίνησις τοῦ αὐτεξουσίου εἰς τὸν Θεὸν διὰ πίστεως, κίνησις εἰς τὴν ἁμαρτίαν ὡς βδελυττομένου, καὶ τῆς ἁμαρτίας συγχώρησις, ὅτι ἐν πάσῃ κινήσει, οἷα καὶ ἡ δικαίωσις εἴρηται, ζητεῖται ἡ κίνησις τοῦ κινοῦντος, καὶ κατὰ ταύτην λαμβάνεται ἡ παρουσία τῆς χάριτος· ἡ τοῦ κινητοῦ κίνησις καὶ κατὰ ταύτην λαμβάνονται ἡ προσχώρησις καὶ ἀπο-
f. 175 χώρησις· καὶ ἡ τελείωσις τῆς κινήσεως ἢ ἐπὶ τὸ τέλος | ἄφιξις, καὶ αὕτη διὰ τῆς τῶν ἁμαρτιῶν δηλοῦται ἀφέσεως.

Ἰστέον δὲ ὅτι ἡ παρουσία τῆς χάριτος καὶ ἡ τῆς ἁμαρτίας ἄφεσις κατὰ μὲν τὴν οὐσίαν τῆς ἐνεργείας ἕν εἰσι· τῇ γὰρ αὐτῇ ἐνεργείᾳ δίδονται ἐκ Θεοῦ· κατὰ δὲ τὰ ἀντικείμενα διαφέρουσιν, εἰ καὶ ἡ γένεσις τοῦ ἑνὸς φθορά ἐστιν ἄλλου, καὶ ὅτι ἡ συναρίθμησις τῶν τεσσάρων οὐ κατὰ τὴν διαίρεσιν τοῦ γένους εἰς τὰ εἴδη ἐστίν, ἐν ᾗ ἀνάγκη τὰ συναριθμούμενα ἅμα εἶναι, ἀλλὰ κατὰ τὴν διαφορὰν τῶν ζητουμένων πρὸς συμπλήρωσίν τινος, ἐν ᾗ ἄλλο ἄλλου πρότερον καὶ ὕστερον, ὡς ἐν ταῖς ἀρχαῖς καὶ τοῖς μέρεσι τοῦ συνθέτου.

7. Ἕβδομον, ὅτι αὕτη ἐν τῷ ἀκαριαίῳ ἐστίν· διὰ γὰρ Πνεύματος γίνεται τοῦ δικαιοῦντος, τὸ δὲ ἀθρόον ταῖς τῶν ἀνθρώπων ἔπεισι διανοίαις, ὡς ἐν δευτέρῳ τῶν Πράξεων· „Ἐγένετο ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας“· τὰς γὰρ βραδείας βοηθείας οὐκ οἶδεν ἡ τοῦ Πνεύματος χάρις, φησὶν ἡ ἐξήγησις. Ἐπεὶ γὰρ ἡ θεία δύναμις ἄπειρός ἐστι, δύναται πᾶσαν ὕλην κτιστὴν πρὸς τὸ εἶδος ἀθρόον διαθεῖναι, καὶ πολλῷ μᾶλλον τὸ αὐτεξούσιον, οὗ ἡ κίνησις ἀθρόα δύναται εἶναι κατὰ φύσιν. Εἰ γὰρ καὶ ἐπὶ διάφορα κινεῖται, τουτέστιν εἰς τὸν Θεὸν καὶ εἰς τὴν ἁμαρτίαν, ἀλλ' ἅμα, ὥσπερ ἅμα νοοῦμεν τὸ ὑποκείμενον καὶ τὸ κατηγορούμενον ἐν τῇ πρὸς μίαν κατάφασιν τάξει, καὶ τὸ σῶμα ἀποχω-

1 Hebr. 11, 6   4 Ps. 31, 5   31 Act. 2, 2

Ε.Υ.Δ της Κ.τ.Ι ΙΩΑΝΝΙΝΑ 2006

ροῦν ἀφ' ἑνὸς τόπου ἅμα φέρεται ἐπ' ἄλλον. Οὕτω καὶ τὸ αὐτεξούσιον ἅμα βδελύττεται τὴν ἁμαρτίαν καὶ πρὸς τὸν Θεὸν ἐπιστρέφει.

8. Ὄγδοον, ὅτι ὡς ἡ αἰτία φύσει πρότερον τοῦ ἀποτελέσματος, οὕτω καὶ ἡ παρουσία τῆς χάριτος, φύσει αἰτία πάντων τῶν ἄλλων οὖσα, προτέρα ἐστὶν τῶν πρὸς τὴν δικαίωσιν ζητουμένων, εἰ καὶ χρόνῳ ἅμα πάντα εἰσίν· ἔστι γὰρ αὕτη ὡς ἡ κίνησις τοῦ κινοῦντος, εἶτα ὡς ἡ διάθεσις ἢ ἡ κίνησις τοῦ κινητοῦ τὰ λοιπὰ δύο, ὧν ἡ εἰς τὸν Θεὸν κίνησις, λόγος οὖσα τῆς εἰς τὴν ἁμαρτίαν τοῦ αὐτεξουσίου κινήσεως, προτέρα αὐτῆς ἐστιν· εἶτα τέταρτον καὶ τελευταῖον, ἡ ἄφεσις τῆς ἁμαρτίας, πρὸς ἣν ὥσπερ εἰς τέλος ὅλη ἐκείνη ἡ μεταβολὴ τέτακται.

9. Ἔννατον, ὅτι ἡ δικαίωσις τοῦ ἀσεβοῦς, μέγιστον τῶν τοῦ Θεοῦ ἔργων. | Ἐν γὰρ τοῖς Ψαλμοῖς λέγεται· „Οἱ οἰκτιρμοὶ αὐτοῦ ὑπὲρ πάντα f. 175v
τὰ ἔργα αὐτοῦ“· καὶ Αὐγουστῖνος φησίν, ἐξηγούμενος τὸ ἑνδέκατον τοῦ κατὰ Ἰωάννην· καὶ μείζονα τούτων ποιήσει, ὅτι μεῖζον ἔργον ἐστὶ ποιῆσαι ἐξ ἀσεβοῦς δίκαιον ἢ οὐρανὸν δημιουργῆσαι καὶ γῆν. Διχῶς γὰρ λέγεταί τι ἔργον εἶναι μεῖζον ἄλλου, ἕνα μὲν τρόπον κατὰ τὸν τῆς ποιήσεως τρόπον, καὶ οὕτω μέγιστόν ἐστιν ἔργον τὸ τῆς δημιουργίας, ἐν ᾧ ἐκ μηδενὸς γίνεταί τι· ἕτερον δὲ τρόπον λέγεταί τι ἔργον μέγα διὰ τὸ μέγεθος τοῦ γινομένου ἀγαθοῦ, καὶ κατὰ τοῦτο μεῖζον ἔργον ἐστὶν ἡ δικαίωσις τοῦ ἀσεβοῦς, ὃ τελευτᾷ εἰς τὸ αἰώνιον ἀγαθὸν τῆς θείας μετοχῆς, ἢ ἡ δημιουργία τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὃ τελευτᾷ εἰς τὸ ἀγαθὸν τῆς μεταβολῆς τῆς φύσεως· καὶ διὰ τοῦτο Αὐγουστῖνος ἐπάγει· „Ὁ μὲν γὰρ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, ἡ δὲ τῶν προωρισμένων δικαίωσις καὶ σωτηρία διαμενεῖ“.

Δεῖ δὲ εἰδέναι, ὅτι διχῶς λέγεταί τι μεῖζον· ἢ κατὰ ποσότητα ἀπολελυμένην, καὶ τοῦτον τὸν τρόπον τὸ δῶρον τῆς δόξης μεῖζόν ἐστιν ἢ τὸ δῶρον τῆς χάριτος τῆς δικαιούσης τὸν ἀσεβῆ· ἢ κατὰ ποσότητα ἀναλογίας, ὡς λέγεται ὄρος μικρόν, καὶ κέγχρος μεγάλη, καὶ οὕτω τὸ δῶρον τὸ δικαιοῦν μεῖζον τοῦ ποιοῦντος μακάριον· ὑπερβαίνει γὰρ τοῦτο πλέον τὴν ἀξίαν τοῦ τιμωρητέου ἢ ἐκεῖνο τὴν ἀξίαν τοῦ ἀμειπτέου, καὶ μείζονος ἐλέους ἐστίν.

Εἰ δὲ λέγοι τις μεῖζον εἶναι ἔργον τοῦ Θεοῦ τὸ ἐν τῇ πατρίδι δοξάζεσθαι τοὺς ἀνθρώπους τοῦ διὰ τῆς δικαιώσεως εὑρίσκειν τὴν ἐν τῇ τοῦ Θεοῦ χάριν, τοῦτο λύεται ἐκ τῶν εἰρημένων. Ἀλλ' οὐδὲ ἡ τοῦ οὐρανοῦ καὶ τῆς γῆς δημιουργία μεῖζόν ἐστιν, ἅτε τοῦ παντὸς ἀγαθὸν ὄν· εἰ γὰρ ἐν τῷ αὐτῷ γένει λαμβάνοιντο, μεῖζον τὸ τοῦ παντὸς ἀγαθοῦ ἢ τοῦ μερικοῦ τοῦ ἑνός, ἀλλὰ τὸ τῆς χάριτος ἀγαθόν, καὶ ἑνὸς ὄν, μεῖζόν ἐστι τοῦ τῆς φύσεως ἀγαθοῦ, εἰ καὶ τοῦ παντὸς εἴη τοῦτο.

10. Δέκατον, ὅτι ἡ δικαιοσύνη, εἴτουν ἡ δικαίωσις, οὐκ ἔστι θαῦμα εἴτουν παράδοξον· οὐ γὰρ ὑπὲρ τὴν φυσικήν ἐστι δύναμιν. Τὸ μὲν γὰρ

ἔχειν τὸ ἀγαθὸν τῆς χάριτός ἐστι τῶν πιστῶν· τὸ δὲ δύνασθαι πίστιν Χριστοῦ, ὡς καὶ ἀγάπην, τῆς φύσεως ἐστὶ τῶν ἀνθρώπων.

Ἔτι, ἐν τοῖς παραδόξοις ἔργοις τρία εἰώθασιν εὑρίσκεσθαι· ὧν ἓν
f. 176 μέν ἐστιν | ἐκ τοῦ ποιοῦντος, ὅταν μόνῃ τῇ θείᾳ δυνάμει δύνανται γίνεσθαι, καὶ διὰ τοῦτό εἰσιν ἁπλῶς θαύματα ὡς ἂν λανθάνον αἴτιον ἔχοντα, καὶ οὕτως ἡ τοῦ ἀσεβοῦς δικαίωσις, καὶ ἡ τοῦ κόσμου δημιουργία, καὶ πᾶν τῷ Θεῷ μόνῳ δυνατὸν παράδοξόν ἐστιν· δεύτερον, τισὶ τῶν παραδόξων εὑρίσκεται τὸ εἰσαγόμενον εἶδος ὑπὲρ τὴν φυσικὴν δύναμιν τῆς τοιαύτης ὕλης, ὡς ἐν τῇ τοῦ νεκροῦ ἀναστάσει ἡ ζωή· καὶ οὕτως ἡ τοῦ ἀσεβοῦς δικαίωσις οὐκ ἔστι παράδοξος· φύσει γὰρ ἡ ψυχὴ τῆς χάριτός ἐστι δεκτική, ὡς δι' αὐτὴν δεκτικὴ οὗ γέγονε κατ' εἰκόνα Θεοῦ. Τρίτον, εὑρίσκεταί τι ἐν τοῖς παραδόξοις παρὰ τὴν εἰωθεῖσαν τάξιν τῆς αἰτίας καὶ τοῦ ἀποτελέσματος, ὥσπερ ὅταν τις ἄρρωστος τελείας ὑγείας τύχῃ παρὰ τὸν εἰωθότα δρόμον τῆς ὑγείας, ἥτις γίνεται διὰ φύσεως, ἢ διὰ τέχνης· καὶ κατὰ τοῦτο ἡ τοῦ ἀσεβοῦς δικαίωσις ποτὲ μέν ἐστι παράδοξος, ποτὲ δὲ οὔ· ἔστι γὰρ οὗτος εἰωθὼς καὶ κοινὸς δρόμος δικαιώσεως, ἵνα τοῦ Θεοῦ ἔνδοθεν κινοῦντος ἐπιστρέφηται πρὸς τὸν Θεὸν ἡ ψυχὴ πρῶτον μὲν ἀτελεῖ ἐπιστροφῇ, ὕστερον δὲ τελείᾳ· ἡ γὰρ ἀρχομένη ἀγάπη ἀξιοῦται αὔξεσθαι, ἵν' αὐξηθεῖσα ἀξιωθείη τελειωθῆναι, ὡς Αὐγουστῖνος φησί· ποτὲ δὲ οὕτω σφοδρῶς κινεῖ τὴν ψυχὴν ὁ Θεός, ὥστ' εὐθὺς τελειότητά τινα δικαιοσύνης λαβεῖν, ὥσπερ γέγονεν ἐν τῇ τοῦ Παύλου ἐπιστροφῇ, προστεθείσης καὶ ἔξωθεν παραδόξου ὑποστρώσεως καὶ καταπτώσεως εἰς τὴν γῆν, καὶ διὰ τοῦτο ἡ τοῦ Παύλου ἐπιστροφὴ ὡς παράδοξος ἑορτάζεται ἐν τῇ Ἐκκλησίᾳ περιφανῶς.

## CXIV. — Περὶ τῆς ἀμοιβῆς, ἥ ἐστιν ἀποτέλεσμα τῆς συνεργούσης χάριτος.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι ὁ ἄνθρωπος δύναται λαβεῖν ὑπέρ τινος ἀμοιβὴν παρὰ τοῦ Θεοῦ, ὡς ἐν τῷ τριακοστῷ πρώτῳ τοῦ Ἱερεμίου· „Ἔστι μισθὸς τὰ ἔργα σου“, μισθὸς δὲ ὅπερ ἀντὶ ἀμοιβῆς ἀποδίδοται· ἔστι γὰρ ὥσπερ τίμημα ἔργου ἢ πόνου ὁ μισθός. Ὥσπερ οὖν δικαιοσύνης τὸ ἀνταποδοῦναι δίκαιον τίμημα, οὕτω καὶ τὸ ἀντιμετρῆσαι μισθόν·
f. 176v | δικαιοσύνη δὲ ἰσότης τις ἐστίν, καὶ διὰ τοῦτο ἐν οἷς μὲν ἁπλῶς ἰσότης, καὶ δικαιοσύνη ἁπλῶς· ὧν δ' οὐκ ἔστιν ἁπλῶς ἰσότης, οὐδ' ἁπλῶς δικαιοσύνη ἐν τούτοις, ἀλλά τις δικαιοσύνης κίνησις, ὡς δὲ καὶ μισθὸς εἴτουν ἀμοιβή· πατέρων δὲ καὶ δεσποτῶν οὐχ ἁπλῶς δίκαιον, ἀλλά πῃ, εἴπερ μηδὲ ἰσότης ἁπλῶς. Φανερὸν δέ, ὅτι μεταξὺ Θεοῦ καὶ ἀνθρώπου ἐπ' ἄπειρον ἡ ἀνισότης· πᾶν δὲ τὸ τοῦ ἀνθρώπου ἀγαθὸν παρὰ τοῦ Θεοῦ ἐστιν· ὅθεν οὐ δυνατὸν εἶναι δικαιοσύνην τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν κατὰ ἀπολελυμένην ἰσότητα, ἀλλὰ κατά τινα ἀναλογίαν, καθόσον δηλονότι ἑκάτερος ἐνεργεῖ

κατὰ τὸν αὐτοῦ τρόπον· ὁ δὲ τρόπος καὶ τὸ μέτρον τῆς ἀνθρωπίνης δυνάμεως ἐστὶ παρὰ τοῦ Θεοῦ τῷ ἀνθρώπῳ, καὶ διὰ τοῦτο ἀμοιβὴν τῷ ἀνθρώπῳ παρὰ Θεοῦ εἶναι ἀδύνατον, εἰ μὴ προϋποτιθεμένης τῆς θείας διατάξεως, οὕτω δηλονότι ὥστ' ἐκεῖνο λαβεῖν παρὰ τοῦ Θεοῦ τὸν ἄνθρωπον διὰ τῶν ἑαυτοῦ ἔργων ὥσπερ μισθὸν ἐφ' ὃ τὴν τοῦ ἐνεργεῖν δύναμιν ἀπένειμεν αὐτῷ ὁ Θεός, ὥσπερ καὶ τὰ φυσικὰ τούτου τυγχάνουσι διὰ τῶν ἰδίων ἐνεργειῶν καὶ κινήσεων ἐφ' ὃ τετάχαται παρὰ τοῦ Θεοῦ, διαφόρως μέντοι· ἡ μὲν γὰρ λογικὴ κτίσις ἑαυτὴν ἐπὶ τὸ κινεῖν διὰ τοῦ αὐτεξουσίου κινεῖ· ὅθεν ἡ τοιαύτη ἐνέργεια λόγον ἔχει ἀμοιβῆς, ὅπερ οὐκ ἔχει ἐπὶ τῶν ἄλλων κτισμάτων.

2. Δεύτερον, ὅτι ἄνευ χάριτος οὐ δύναταί τις ἀξιωθῆναι τῆς αἰωνίου ζωῆς. Φησὶ γὰρ ὁ Ἀπόστολος ἐν τῷ ἕκτῳ τῆς πρὸς Ῥωμαίους· „Ἡ χάρις τοῦ Θεοῦ, ζωὴ αἰώνιος".

Ἔτι, κατὰ τὴν προτέραν τῆς ἀκεραιότητος κατάστασιν, ἀδύνατον διὰ μόνων τῶν φυσικῶν τυχεῖν τὸν ἄνθρωπον τῆς αἰωνίου ζωῆς· ἡ γὰρ αἰώνιος ζωὴ ἀγαθόν τι ἐστὶν ὑπερβαῖνον τὴν ἀναλογίαν τῆς κτιστῆς φύσεως διὰ τὸ ὑπερβάλλειν τὴν γνῶσιν καὶ τὴν ἐπιθυμίαν αὐτῶν, κατὰ τὸ δεύτερον τῆς πρὸς Κορινθίους πρώτης· „Ἃ ὀφθαλμὸς οὐκ οἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη"· καὶ διὰ τοῦτο οὐδεμία φύσις κτιστὴ δύναται εἶναι ἀρχὴ ἱκανὴ ἐνεργείας τινός, ᾗ ἀντὶ μισθοῦ ὀφείλεται ἡ αἰώνιος ζωή, εἰ μή τι θεῖον καὶ ὑπερφυὲς προστεθείη, ὃ λέγεται χάρις· κατὰ δὲ | τὴν δευτέραν τῆς φθορᾶς κατάστασιν, προστίθεται τῷ πρώτῳ f. 177
καὶ δεύτερον λόγον, τὸ τῆς ἁμαρτίας κώλυμα. Ἐπεὶ γὰρ ἡ ἁμαρτία πρόσκρουμά ἐστιν εἰς τὸν Θεόν, εἶργον τῆς αἰωνίου ζωῆς, οὐδεὶς ἐν ἁμαρτίᾳ ὢν ταύτης ἀξιωθῆναι δύναται, εἰ μὴ πρότερον τῷ Θεῷ διαλλαγείη, ἀφεθείσης αὐτῷ τῆς ἁμαρτίας, ὃ γίνεται διὰ τῆς χάριτος· οὐ γὰρ ζωὴ τῷ ἁμαρτωλῷ, ἀλλὰ θάνατος ὀφείλεται κατὰ τὸ ἕκτον τῆς πρὸς Ῥωμαίους· „Τὰ δὲ ὀψώνια τῆς ἁμαρτίας, θάνατος".

3. Τρίτον, ὅτι ὁ ἐν τῇ χάριτι ὢν ἄνθρωπος δύναται ἀξίως τῆς αἰωνίου ζωῆς ἀξιωθῆναι. Τὸ γὰρ διδόμενον κατὰ κρίσιν δικαίαν δοκεῖ μισθὸν ἄξιος εἶναι· ἡ δὲ αἰώνιος ζωὴ δίδοται παρὰ τοῦ Θεοῦ κατὰ κρίσιν δικαιοσύνης, ὡς ἐν τῷ τετάρτῳ τῆς πρὸς Τιμόθεον δευτέρας· „Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής". Ὁ ἄνθρωπος ἄρα ἀξίως καὶ δικαίως τῆς αἰωνίου ζωῆς ἀξιοῦται. Δεῖ μέντοι γε τὸ κατ' ἀξίαν οὐ καθὸ πρόεισι τὸ ἔμμισθον τοῦ ἀνθρώπου ἔργον ἐκ τοῦ αὐτεξουσίου καὶ κατὰ τὴν οὐσίαν αὐτοῦ σκοπεῖσθαι, εἰ μὴ μόνον κατὰ τὸ εἰκός, διά τινα ἀναλογίας ἰσότητα· εἰκὸς γὰρ δοκεῖ τῷ κατὰ τὴν αὐτοῦ δύναμιν ἐνεργοῦντι ἀνθρώπῳ ἀντιμετρῆσαι τὸν Θεὸν κατὰ τὴν ὑπεροχὴν τῆς αὐτοῦ δυνάμεως· ἀλλὰ

12 Rom. 6, 23  18 I Cor. 2, 9  28 Rom. 6, 23  32 II Tim. 4, 8

ΙΩΑΝΝΙΝΑ 2006

καθὸ πρόεισιν ἐκ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος· οὕτω γὰρ ἡ ἀξία τοῦ ἔργου νοεῖται κατὰ τὴν δύναμιν τοῦ ἁγίου Πνεύματος, τοῦ κινοῦντος ἡμᾶς εἰς τὴν αἰώνιον ζωήν, κατὰ τὸ τέταρτον τοῦ κατὰ Ἰωάννην· „Γενήσεται αὐτῷ πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον". Καὶ κατὰ τὴν ἀξίαν τῆς υἱοθετούσης χάριτος, ἣ ὀφείλεται ἐκ τοῦ τῆς υἱοθεσίας δικαίου καὶ κληρονομίας, κατὰ τὸ ὄγδοον τῆς πρὸς Ῥωμαίους· „Εἰ υἱοί, καὶ κληρονόμοι".

4. Τέταρτον, ὅτι ἡ χάρις ἀρχή ἐστι μισθοῦ ἀρχοειδέστερον διὰ τῆς ἀγάπης ἢ διὰ τῶν ἄλλων ἀρετῶν. Ἐν γὰρ τῷ τεσσαρακαιδεκάτῳ τοῦ κατὰ Ἰωάννην· „Ἐάν τις ἀγαπᾷ με, ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτόν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν". Ἀλλ' ἐν τῇ φανερᾷ τοῦ Θεοῦ γνώσει ἡ αἰώνιος συνίσταται ζωή, ὡς ἐν τῷ δεκάτῳ ἑβδόμῳ τοῦ κατὰ Ἰωάννην.

f. 177ᵛ 5. Πέμπτον, ὅτι ὁ ἄνθρωπος οὐ λαμβάνει ὡς μισθὸν τὴν πρώτην χάριν. Ὁ γὰρ τῆς χάριτος λόγος ἐναντίος ἐστὶ τῷ μισθῷ τῶν ἔργων, κατὰ τὸ τέταρτον τῆς πρὸς Ῥωμαίους· „Τῷ δὲ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατ' ὀφειλήν"· ἀλλ' ἐκεῖνο ὡς μισθὸν λαμβάνει ὁ ἄνθρωπος ὃ λογίζεται ὥσπερ τις μισθὸς τοῦ ἔργου ἐκείνου.

Εἰ δὲ καὶ τοῖς ἀξίοις μόνοις τὴν χάριν δίδωσιν, οὐχ ὡς πρότερον οὖσιν ἀξίοις, ἀλλ' ὅτι αὐτὸς τούτους διὰ τῆς χάριτος ἀξίους ποιεῖ, ὃς μόνος „δύναται ποιεῖν καθαρὸν ἐξ ἀκαθάρτου συλλήψεως γυναικός".

6. Ἕκτον, ὅτι οὐ δύναται ὁ ἄνθρωπος μισθὸν λαμβάνειν τὴν πρώτην ἑτέρου χάριν. Ἐν γὰρ τῷ δεκάτῳ πέμπτῳ τοῦ Ἱερεμίου λέγεται· „Ἐὰν στῇ Μωϋσῆς καὶ Σαμουὴλ ἐνώπιόν μου, οὐκ ἔστιν ἡ ψυχή μου πρὸς τὸν λαὸν τοῦτον", καίτοι ἐκεῖνοι μεγάλων μισθῶν ἔτυχον παρὰ τοῦ Θεοῦ.

Εἰ δὲ πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη, τουτέστι συνεχής, ἰσχύει μὲν ὑπὲρ ἑτέρου πρὸς σωτηρίαν, πλὴν τῷ τοῦ εἰκότος μισθῷ, οὐ τῷ κατ' ἀξίαν· εἰς γὰρ τὴν φιλανθρωπίαν ἐρείδεται, οὐκ εἰς τὴν δικαιοσύνην, κατὰ τὸ ἔννατον τοῦ Δανιήλ· „Οὐδὲ ἐν ταῖς δικαιοσύναις ἡμῶν ἐκχέομεν τὰς δεήσεις ἡμῶν πρὸ προσώπου σου, ἀλλ' ἐν τοῖς οἰκτιρμοῖς σου τοῖς πολλοῖς".

7. Ἕβδομον, ὅτι οὐ δύναται ὁ ἄνθρωπος μισθὸν ἑαυτῷ λαμβάνειν τὴν μετὰ τὸ ὀλίσθημα ἐπανόρθωσιν. Λέγεται γὰρ ἐν τῷ δεκάτῳ ὀγδόῳ τοῦ Ἰεζεκιήλ· „Ἐὰν ἀποστρέψῃ ἑαυτὸν ὁ δίκαιος ἀπὸ τῆς δικαιοσύνης αὐτοῦ, καὶ ποιήσει τὴν ἀνομίαν, πάσης δικαιοσύνης αὐτοῦ, ἣν ἐποίησεν, οὐ μνησθήσομαι", τουτέστιν οὐκ ὠφελήσουσιν αὐτὸν τὰ προηγησάμενα ἔργα πρὸς τὸ ἀναστῆναι. Οὔτε γὰρ τῷ τοῦ εἰκότος μισθῷ, οὔτε τῷ τῆς ἀξίας τοῦτο δυνατὸν γίνεσθαι· ὁ μὲν γὰρ λόγος τοῦ μισθοῦ τῆς ἀξίας τῆς κινήσεως

3 Ioh. 4, 14 6 Rom. 8, 17 10 Ioh. 14, 21 16 Rom. 4, 4 21 Iob, 14, 4
23 Ierem. 11, 1 29 Dan. 9, 18 34 Ezech. 18, 24

ἤρτηται τῆς θείας χάριτος, ἥτις κίνησις διακόπτεται τῷ ἑπομένῳ ἁμαρτήματι· πᾶσαι μέντοι αἱ εὐεργεσίαι, ὧν μετὰ ταῦτα τὶς παρὰ Θεοῦ τυγχάνει, δι' ὧν ἐπανορθοῦται, οὐκ εἰσὶν ὑπὸ τὸν μισθόν, ὡς ἂν τῆς κινήσεως τῆς ἀπὸ τῆς πρώτης χάριτος αὐτὴν μέχρι τούτου | μὴ ἐκτεινούσης. Ὁ δὲ f. 178 μισθὸς τοῦ εἰκότος, ᾧ τις ἑτέρῳ τὴν πρώτην χάριν λαμβάνει, κωλύεται μὴ ἐλθεῖν ἐπὶ τὸ ἀποτέλεσμα διὰ τὸ κώλυμα τῆς ἁμαρτίας, τῆς οὔσης ἐν τῷ ὑπὲρ οὗ δεῖται· πολλῷ μᾶλλον ἄρα κωλύεται τὸ τοῦ μισθοῦ τούτου δραστήριον διὰ τὸ κώλυμα τῆς ἁμαρτίας, τὸ ὂν ἔν τε τῷ ὑπὲρ ἄλλου δεομένῳ καὶ ἐν τῷ ὑπὲρ οὗ δεῖται· ἐνταῦθα γὰρ ἑκάτερον εἰς ἓν πρόσωπον συντρέχει, καὶ διὰ τοῦτο οὐδαμῶς τις δύναται ἀντὶ μισθοῦ λαβεῖν ἑαυτῷ τὴν ἀπὸ τοῦ πταίσματος ἀνάστασιν.

8. Ὄγδοον, ὅτι ὁ ἄνθρωπος λαμβάνει μισθὸν τὴν αὔξησιν τῆς χάριτος ἢ τῆς ἀγάπης. Φησὶ γὰρ Αὐγουστῖνος ἐν τῇ ἐπιστολῇ Ἰωάννου, ὅτι ἡ ἀγάπη ἀντὶ μισθοῦ λαμβάνει τὸ αὔξεσθαι, ἵν' αὐξηθεῖσα ἀντὶ μισθοῦ λαμβάνῃ τὴν τελείωσιν· ἐκεῖνο γὰρ ὑπὸ τὸν λόγον ἐστὶ τοῦ κατ' ἀξίαν μισθοῦ, ἐφ' ὃ ἡ κίνησις τῆς χάριτος ἑαυτὴν ἐκτείνει· ἡ δὲ τοῦ κινοῦντος κίνησις οὐ μόνον ἐπὶ τὸν ἔσχατον ὅρον τῆς κινήσεως ἑαυτὴν ἐκτείνει, ἀλλὰ καὶ ἐφ' ὅλην τὴν ἐν τῇ κινήσει πρόοδον· ὁ δὲ ὅρος τῆς κινήσεως τῆς χάριτός ἐστιν ἡ αἰώνιος ζωή· ἡ δὲ ἐν τῇ τοιαύτῃ κινήσει πρόοδός ἐστιν κατὰ τὴν αὔξησιν τῆς ἀγάπης ἢ τῆς χάριτος, κατὰ τὸ τέταρτον τῶν Παροιμιῶν· „Δικαίων ὁδὸς ὥσπερ φῶς λάμπον πρόεισι καὶ αὐξάνει μέχρι τελείας ἡμέρας", ἥτις ἐστὶν ἡ ἡμέρα τῆς δόξης. Οὕτω τοίνυν ἡ τῆς χάριτος αὔξησις ὑπὸ τὸν κατ' ἀξίαν ἐστὶ μισθόν.

9. Ἔννατον, ὅτι οὐ λαμβάνει ἀντὶ μισθοῦ τὴν ἐπιμονήν. Πᾶν γὰρ οὗ τις ἀξιοῦται, τούτου τυγχάνει παρὰ Θεοῦ, εἰ μὴ δι' ἁμαρτίας κωλύοιτο· ἀλλὰ πολλοὶ ἔργα ἔμμισθα ἔχοντες οὐ τυγχάνουσι τῆς ἐπιμονῆς, καὶ οὐ δυνατὸν τοῦτο συμβαίνειν λέγειν διὰ τὸ ἐκ τῆς ἁμαρτίας κώλυμα· αὐτὸ γὰρ τοῦτο τὸ ἁμαρτάνειν ἀντίκειται τῇ ἐπιμονῇ, ὥστε εἴ τις ἐπιμονὴν λάβοι παρὰ Θεοῦ, οὐκ ἂν συγχωρηθῆναι τοῦτον ἐμπεσεῖν ἁμαρτήματι. Οὐκ ἄρα ἡ ἐπιμονὴ ὑπὸ τὸν λόγον ἐστὶ τοῦ μισθοῦ.

Ἔτι, τοῦ ἀνθρώπου ἔχοντος αὐτεξούσιον | στρεπτὸν εἰς τὸ ἀγαθὸν καὶ f. 178v εἰς τὸ κακόν, διχῶς ἔστι τινὰ δύνασθαι λαβεῖν παρὰ Θεοῦ ἐπιμονὴν ἐν τῷ ἀγαθῷ, ἕνα μὲν τρόπον διὰ τὸ τὸ αὐτεξούσιον εἰς τἀγαθὸν ὁρισθῆναι τῇ τελειωθείσῃ χάριτι, ὅπερ ἔσται ἐν τῇ δόξῃ· ἕτερον δὲ τρόπον, κατὰ τὴν θείαν κίνησιν, ἣ τὸν ἄνθρωπον κινεῖ εἰς τἀγαθὸν μέχρι τέλους. Ἀλλ' ὡς ἐκ τῶν προειρημένων δῆλον, ἐκεῖνο ἐστὶν ὑπὸ τὸν λόγον τοῦ ἀνθρωπίνου μισθοῦ, ὅπερ οὕτω παραβάλλεται πρὸς τὴν κίνησιν τοῦ αὐτεξουσίου ἰθυνομένου ὑπὸ τοῦ Θεοῦ κινοῦντος ὥσπερ ὅρος, οὐ μὴν ἐκεῖνο, ὅπερ οὕτω παραβάλλεται πρὸς τὴν προειρημένην κίνησιν ὥσπερ ἀρχή· ὅθεν δῆλον,

21 Prov. 4, 18

Ε.Υ.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

ὅτι ἡ μὲν τῆς χάριτος ἐπιμονή, τέλος οὖσα τῆς προειρημένης κινήσεως, ὑπὸ τὸν λόγον ἐστὶ τοῦ μισθοῦ, ἡ δὲ ἐπιμονὴ τοῦ μισθοῦ οὐκ ἔστιν ὑπὸ τὸν λόγον τοῦ μισθοῦ, ἀλλ' ἤρτηται μόνον τῆς θείας κινήσεως, ἥ ἐστιν ἀρχὴ μισθοῦ παντός. Ἀλλ' ὁ Θεὸς προῖκα παρέχει τὸ τῆς ἐπιμονῆς ἀγαθὸν ᾧ ἂν παράσχοι.

Ἰστέον δὲ ὅτι καὶ ὧν οὐκ ἐσμὲν ἄξιοι, εὐχόμενοι λαμβάνομεν· καὶ γὰρ ὁ Θεὸς καὶ τῶν ἁμαρτωλῶν ἀκούει συγγνώμην τῶν ἁμαρτημάτων αἰτούντων, ἧς οὐκ εἰσὶν ἄξιοι, ὥς φησιν Αὐγουστῖνος ἐν τῷ κατὰ Ἰωάννην· Οἴδαμεν δὲ ὅτι ἁμαρτωλῶν ὁ Θεὸς οὐκ ἀκούει· ἄλλως γὰρ μάτην ἂν εἶπεν ὁ τελώνης· „Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ", ὡς ἐν τῷ ὀκτωκαιδεκάτῳ τοῦ κατὰ Λουκᾶν λέγεται. Ὁμοίως τοίνυν καὶ τὸ τῆς ἐπιμονῆς χάρισμα ζητῶν λαμβάνει τις παρὰ Θεοῦ ἢ ἑαυτῷ, ἢ ἑτέρῳ, εἰ καὶ [μὴ] ὑπὸ τὸν μισθόν ἐστιν.

10. Δέκατον, ὅτι οὐ δίδονται τὰ πρόσκαιρα ἀγαθὰ ἀντὶ μισθοῦ. Τὰ γὰρ ὑποπίπτοντα τῷ μισθῷ οὐχ ἁπλῶς ἔχουσι πρὸς πάντας· ἀλλὰ τὰ πρόσκαιρα ἀγαθά, ἢ κακὰ ὁμοίως ἔχουσι καὶ πρὸς τοὺς ἀγαθοὺς καὶ πρὸς τοὺς κακούς, κατὰ τὸ ἔννατον τοῦ Ἐκκλησιαστοῦ· „Πάντα ἐπίσης ἔρχονται τῷ δικαίῳ καὶ τῷ ἀσεβεῖ, τῷ ἀγαθῷ καὶ τῷ πονηρῷ, καθαρῷ καὶ ἀκαθάρτῳ, θύοντι θύματα καὶ θυσιῶν καταφρονοῦντι". Τὰ πρόσκαιρα ἄρα ἀγαθὰ οὐκ εἰσί τινων μισθός.

Ἔτι, ὅπερ μισθὸς ἢ ἆθλον ἐστίν, ἀγαθοῦ λόγον ἔχει· διχῶς δέ ἐστι τὸ τοῦ ἀνθρώπου ἀγαθόν· ἕνα μὲν τρόπον ἁπλῶς, ἄλλον δὲ κατά τι· f. 179 ἁπλῶς μὲν οὖν | ἐστιν ἀγαθὸν τοῦ ἀνθρώπου τὸ ἔσχατον αὐτοῦ τέλος, κατὰ τὸ ἐν τοῖς Ψαλμοῖς· „Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι", καὶ ἀκολούθως πάντα ἅτινα τάττονται ὡς ἄγοντα πρὸς τὸ τέλος ἐκεῖνο, τὰ γοῦν τοιαῦτα ἁπλῶς ὑπὸ τὸν λόγον εἰσὶ τοῦ μισθοῦ· κατά τι δὲ ἀλλ' οὐχ ἁπλῶς ἀγαθὸν τοῦ ἀνθρώπου ἐστὶν ὅ ἐστιν αὐτῷ ἀγαθὸν νῦν, ἢ ὅπερ αὐτῷ πῇ ἐστιν ἀγαθόν· τὰ δὲ τοιαῦτα οὐχ ἁπλῶς εἰσι μισθός, ἀλλά πῃ. Κατὰ τοῦτο τοίνυν ῥητέον ὅτι, εἰ θεώροιντο τὰ πρόσκαιρα ἀγαθὰ καθόσον εἰσὶ χρήσιμα πρὸς τὰ τῶν ἀρετῶν, δι' ὧν ὁδηγούμεθα πρὸς τὴν αἰώνιον ζωήν, κατὰ τοῦτο προηγουμένως καὶ ἁπλῶς ὑπὸ τοῦ λόγου εἰσὶ τοῦ μισθοῦ, ὥσπερ ἡ τῆς χάριτος αὔξησις καὶ πάντα ἐκεῖνα, δι' ὧν βοηθεῖται ὁ ἄνθρωπος πρὸς τὸ καταντῆσαι εἰς τὴν μακαριότητα διὰ τῆς πρώτης χάριτος· ὁ γὰρ Θεὸς τοσοῦτον τῶν προσκαίρων ἀγαθῶν ἢ κακῶν δίδωσι τοῖς ἀνθρώποις, ὅσον αὐτοῖς λυσιτελεῖ πρὸς τὸ τυχεῖν τῆς αἰωνίου ζωῆς, καὶ ἐπὶ τοσοῦτόν εἰσιν ἁπλῶς ἀγαθὰ ταῦτα τὰ πρόσκαιρα ἀγαθά. Ὅθεν λέγεται ἐν τοῖς Ψαλμοῖς· „Οἱ φοβούμενοι τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ". Καὶ ἀλλαχοῦ· „Οὐκ εἶδον δίκαιον

10 Luc. 18, 13   17 Eccle. 9, 2   24 Ps. 72, 27   37 Ps. 33, 2

Ε.Υ.Δ της ΚΕ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

ἐγκαταλελειμμένον". Εἰ δὲ καθαυτὰ θεώροιντο τὰ τοιαῦτα ἀγαθά, οὐκ εἰσὶν ἁπλῶς ἀγαθὰ τοῦ ἀνθρώπου, ἀλλὰ πῇ, καὶ οὕτως οὐδ' ὑπὸ τὸν μισθόν εἰσιν ἁπλῶς, ἀλλὰ πῇ, καθόσον δηλονότι οἱ ἄνθρωποι ὑπὸ τοῦ Θεοῦ κινοῦνται πρός τινας πράξεις ἐν τῷ παρόντι κόσμῳ, ἐν οἷς ἐπιτυγχάνουσι τῆς ἑαυτῶν προθέσεως, τοῦ Θεοῦ συνεργοῦντος, ἵν' ὥσπερ ἡ αἰώνιος ζωὴ τῶν τῆς δικαιοσύνης ἔργων ἁπλῶς ἐστιν ἆθλον τῇ πρὸς τὴν θείαν κίνησιν ἀναφορᾷ, καθὼς προείρηται, οὕτω καὶ τὰ πρόσκαιρα ἀγαθὰ καθ' ἑαυτὰ θεωρούμενα λόγον ἔχωσι μισθοῦ, μηδεμιᾶς παραθέσεως γινομένης ἐνταῦθα πρὸς τὴν θείαν κίνησιν, ᾗ κινοῦνται αἱ τῶν ἀνθρώπων θελήσεις πρὸς τὸ πράττειν ἐκεῖνα, εἰ καὶ πολλάκις οὐκ ὀρθὸν σκοπὸν ἔχουσι περὶ ταῦτα.

Εἰ δὲ τὰ πρόσκαιρα ἀγαθὰ ὑπεσχημένα ἦσαν ἐν τῷ παλαιῷ νόμῳ ὡς μισθὸς | δικαιοσύνης, ὡς ἐν τῷ εἰκοστῷ πέμπτῳ τοῦ Δευτερονομίου, f. 179v
ἀλλ' ἐν ἐκείναις ταῖς προσκαίροις ἐπαγγελίαις τύποι ἦσαν αὐτῶν τῶν μελλουσῶν πνευματικῶν ὑποσχέσεων, τῶν ἐν ἡμῖν πεπληρωμένων· ὁ γὰρ σαρκικὸς λαὸς ταῖς τοῦ παρόντος βίου ἐπαγγελίαις ἔχαιρεν.

Ὁμοίως δὲ καὶ αἱ μαῖαι, περὶ ὧν εἴρηται ἐν τῷ πρώτῳ τῆς Ἐξόδου, ὅτι διὰ τὸ φοβηθῆναι τὰς μαίας τὸν Θεόν, ᾠκοδόμησεν αὐταῖς τὰς οἰκίας αὐτῶν, ὅπου φησὶν ἡ τοῦ Γρηγορίου ἐξήγησις· „Τῆς ἐκείνων φιλανθρωπίας τὸν μισθὸν δυνατὸν μὲν ἦν ἀποδοθῆναι κἂν τῇ αἰωνίῳ ζωῇ, ἀλλὰ διὰ τὴν ἁμαρτίαν τοῦ ψεύδους γηΐνην ἀνταπόδοσιν ἔλαβον, εἰ καὶ καλὴν εἶχον θέλησιν ὅσον ἐπὶ τῇ τῶν παίδων ἐλευθερίᾳ, ἀλλ' οὐκ ὀρθὴν ὅσον κατὰ τὸ πλάσαι τὸ ψεῦδος". Καὶ ἐν τῷ εἰκοστῷ ἐννάτῳ τοῦ Ἰεζεκιήλ· „Ἡ Βαβυλὼν δουλεῦσαι πεποίηκε τὴν ἑαυτῆς στρατιὰν δουλείᾳ μεγάλῃ κατὰ Τύρου, καὶ μισθὸς ταύτῃ οὐκ ἀπεδόθη", καὶ μετὰ ταῦτα ἐπάγει· „Καὶ ἔσται μισθὸς τῷ στρατῷ· δέδωκα αὐτῷ τὴν γῆν Αἰγύπτου διὰ τὸ δεδουλευκέναι μοι". Τότε γὰρ ὁ τῆς Βαβυλῶνος βασιλεὺς οὐ κατεπολέμησε τὴν Τῦρον ὡς τῷ Θεῷ δουλεῦσαι θελήσας, ἀλλ' ἵν' ἑαυτῷ τὴν ἀρχὴν περιποιήσηται. Καὶ ἁπλῶς, αἱ τοιαῦται ἀνταποδόσεις λέγονται γεγενῆσθαι θεόθεν οὐ τῇ πρὸς τὴν πονηρὰν θέλησιν παραθέσει, ἀλλὰ διὰ τὸ συνεργεῖν τῇ θείᾳ κινήσει.

Πάντα δὲ ὁμοίως ἐπίασι καὶ ἀγαθοῖς καὶ κακοῖς ὅσον κατ' αὐτὴν τὴν οὐσίαν τῶν προσκαίρων ἀγαθῶν ἢ κακῶν, ἀλλ' οὐ κατὰ τὸ τέλος· οἱ μὲν γὰρ ἀγαθοὶ διὰ τῶν τοιούτων ὁδηγοῦνται πρὸς τὴν μακαριότητα, ἀλλ' οὐχὶ καὶ οἱ πονηροί· τοῖς μὲν γὰρ ἀγαθοῖς θεραπεῖαί τινές εἰσι ταῦτα, τοῖς δὲ ἀσεβέσιν ἐπὶ τιμωρίᾳ γίνονται.

Ταῦτα περὶ τῶν ἠθικῶν καθόλου ἐπιτετευγμένως εἰρημένα ἀρκείτω.

---

2 ἀλλὰ πῇ sic A  23 Ezech. 29, 18

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# Table des matières.

Introduction . . . . . . . . . . . . . . . . . . . . . . . . V-XII

## Suite des traductions et commentaires.

III. Résumé de la „Prima Secundae“ de la Somme théologique de saint Thomas d'Aquin . . . . . . . . . . . . . . . . 1-153
1. Prologue . . . . . . . . . . . . . . . . . . . . . 1
2. De la fin dernière . . . . . . . . . . . . . . . . . 2-12
3. Des actes humains . . . . . . . . . . . . . . . . . 12-27
4. Des passions . . . . . . . . . . . . . . . . . . . 27-51
5. Des habitudes et des vertus . . . . . . . . . . . . . 51-76
6. Des péchés et des vices . . . . . . . . . . . . . . 76-106
7. De la loi . . . . . . . . . . . . . . . . . . . . 106-127
8. De la grâce . . . . . . . . . . . . . . . . . . . 127-153

IV. Traduction et commentaire de l'opuscule de saint Thomas d'Aquin „De ente et essentia“ . . . . . . . . . . . . . . . . 154-321
1. Traduction . . . . . . . . . . . . . . . . . . . . 154-177
2. Commentaire . . . . . . . . . . . . . . . . . . . 177-321
3. Table des matières du commentaire . . . . . . . . . . 322-326

V. Traduction du commentaire de saint Thomas d'Aquin du „De Anima“ d'Aristote . . . . . . . . . . . . . . . . 327-581
1. Livre premier . . . . . . . . . . . . . . . . . . 327-394
2. Livre deuxième . . . . . . . . . . . . . . . . . . 395-497
3. Livre troisième . . . . . . . . . . . . . . . . . . 498-581

Imprimerie G. Uschmann à Weimar.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΒΙΒΛΙΟΘΗΚΗ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006